Αβισουε υἱοῦ Φινεες υἱοῦ Ελεαζαρ υἱοῦ Ααρων τοῦ ἱερέως τοῦ πρώ-
6 του· [6]αὐτὸς Εσδρας ἀνέβη ἐκ Βαβυλῶνος, καὶ αὐτὸς γραμματεὺς τα-
χὺς ἐν νόμῳ Μωυσῆ, ὃν ἔδωκεν κύριος ὁ θεὸς Ισραηλ· καὶ ἔδω-
κεν αὐτῷ ὁ βασιλεύς, ὅτι χεὶρ κυρίου θεοῦ αὐτοῦ ἐπ' αὐτὸν ἐν
7 πᾶσιν, οἷς ἐζήτει αὐτός. [7]καὶ ἀνέβησαν ἀπὸ υἱῶν Ισραηλ καὶ ἀπὸ
τῶν ἱερέων καὶ ἀπὸ τῶν Λευιτῶν καὶ οἱ ᾄδοντες καὶ οἱ πυλωροὶ
καὶ οἱ ναθινιμ εἰς Ιερουσαλημ ἐν ἔτει ἑβδόμῳ τῷ Αρθασασθα τῷ
8 βασιλεῖ. [8]καὶ ἤλθοσαν εἰς Ιερουσαλημ τῷ μηνὶ τῷ πέμπτῳ, τοῦτο
9 ἔτος ἕβδομον τῷ βασιλεῖ· [9]ὅτι ἐν μιᾷ τοῦ μηνὸς τοῦ πρώτου
αὐτὸς ἐθεμελίωσεν τὴν ἀνάβασιν τὴν ἀπὸ Βαβυλῶνος, ἐν δὲ τῇ
πρώτῃ τοῦ μηνὸς τοῦ πέμπτου ἤλθοσαν εἰς Ιερουσαλημ, ὅτι χεὶρ
10 θεοῦ αὐτοῦ ἦν ἀγαθὴ ἐπ' αὐτόν. [10]ὅτι Εσδρας ἔδωκεν ἐν καρδίᾳ
αὐτοῦ ζητῆσαι τὸν νόμον καὶ ποιεῖν καὶ διδάσκειν ἐν Ισραηλ
προστάγματα καὶ κρίματα.
11 [11]Καὶ αὕτη ἡ διασάφησις τοῦ διατάγματος, οὗ ἔδωκεν Αρθασα-
σθα τῷ Εσδρα τῷ ἱερεῖ τῷ γραμματεῖ βιβλίου λόγων ἐντολῶν
12 κυρίου καὶ προσταγμάτων αὐτοῦ ἐπὶ τὸν Ισραηλ [12]Αρθασασθα
βασιλεὺς βασιλέων Εσδρα γραμματεῖ νόμου τοῦ θεοῦ τοῦ οὐρα-
13 νοῦ· τετέλεσται ὁ λόγος καὶ ἡ ἀπόκρισις. [13]ἀπ' ἐμοῦ ἐτέθη γνώμη
ὅτι πᾶς ὁ ἑκουσιαζόμενος ἐν βασιλείᾳ μου ἀπὸ λαοῦ Ισραηλ καὶ
ἱερέων καὶ Λευιτῶν πορευθῆναι εἰς Ιερουσαλημ, μετὰ σοῦ πορευ-
14 θῆναι· [14]ἀπὸ προσώπου τοῦ βασιλέως καὶ τῶν ἑπτὰ συμβούλων
ἀπεστάλη ἐπισκέψασθαι ἐπὶ τὴν Ιουδαίαν καὶ εἰς Ιερουσαλημ νόμῳ
15 θεοῦ αὐτῶν τῷ ἐν χειρί σου. [15]καὶ εἰς οἶκον κυρίου ἀργύριον καὶ
χρυσίον, ὃ ὁ βασιλεὺς καὶ οἱ σύμβουλοι ἡκουσιάσθησαν τῷ θεῷ
16 τοῦ Ισραηλ τῷ ἐν Ιερουσαλημ κατασκηνοῦντι, [16]καὶ πᾶν ἀργύριον
καὶ χρυσίον, ὅ τι ἐὰν εὕρῃς ἐν πάσῃ χώρᾳ Βαβυλῶνος μετὰ ἑκου-
σιασμοῦ τοῦ λαοῦ καὶ ἱερέων τῶν ἑκουσιαζομένων εἰς οἶκον θεοῦ
17 τὸν ἐν Ιερουσαλημ, [17]καὶ πᾶν προσπορευόμενον, τοῦτον ἑτοίμως
ἔνταξον ἐν βιβλίῳ τούτῳ, μόσχους, κριούς, ἀμνοὺς καὶ θυσίας
αὐτῶν καὶ σπονδὰς αὐτῶν, καὶ προσοίσεις αὐτὰ ἐπὶ θυσιαστηρίου
18 τοῦ οἴκου τοῦ θεοῦ ὑμῶν τοῦ ἐν Ιερουσαλημ. [18]καὶ εἴ τι ἐπὶ σὲ
καὶ τοὺς ἀδελφούς σου ἀγαθυνθῇ ἐν καταλοίπῳ τοῦ ἀργυρίου καὶ
19 τοῦ χρυσίου ποιῆσαι, ὡς ἀρεστὸν τῷ θεῷ ὑμῶν ποιήσατε. [19]καὶ
τὰ σκεύη τὰ διδόμενά σοι εἰς λειτουργίαν οἴκου θεοῦ παράδος
20 ἐνώπιον τοῦ θεοῦ ἐν Ιερουσαλημ. [20]καὶ κατάλοιπον χρείας οἴκου

5 πρωτου] πατρωου B† || 6 αυτος εσδρ.(cf. 1) > B† | κυριου > B† || 8 τουτο] + το B | 9 του μηνος $1^0 \frown 2^0$ BAV† | την $2^0$ > *L*† || 10 εν καρδια] καρδιαν A†, την καρδιαν *L*† | εν ult. > A† | κριμα B† || 12 του θεου B*L*†] pr. κυριου rel. (A† om. του) | τετελεσται ο] -στο B† || 13 ο > B† || 15 ο $2^0$ > BA† | θεω] κυριω B† || 17 παν BAV†] παντα rel.: cf. Iud. 7 4 B || 18 ει τι] ετι B† | ηγαθυνθη B† | του $2^0$ > A || 19 του > B || 20 καταλοιπον] pr. το A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/966 UNIVERSITÄT LEIPZIG